www.tezaurliturgic.ro

# Ἀκολουθία τοῦ Ἁγίου ἐνδόξου Νεομάρτυρος Μιχαὴλ τοῦ Μαυρουδῆ

ΨΑΛΛΟΜΕΝΗ ΤΗ Ι΄ ΜΑΡΤΙΟΥ



www.tezaurliturgic.ro

Μαρτίου ι΄.

Μνήμη τοῦ Ἁγίου Ἐνδόξου Νεομάρτυρος Μιχαήλ τοῦ Μαυρουδῆ, ἀθλήσαντος ἐν Θεσσαλονίκῃ ἐν ἔτει ͵αφμδ΄. ( 1544 ).

Ἐν τῷ Μικρῷ Ἑσπερινῷ.

Ἱστῶμεν Στίχους δ΄ καί ψάλλομεν τά ἑξῆς Προσόμοια.

Ἦχος πλ. β΄. Αἱ Ἀγγελικαί.

Αἴγλῃ ἀρετῶν, Μιχαήλ λελαμπρυσμένος, ἤθλησας στεῤῥῶς, δι' ἀγάπην τοῦ Σωτῆρος, καί ἤσχυνας τήν πλάνην, εὐτολμίᾳ τῶν λόγων σου, καί τῇ θαυμαστῇ ὁμολογίᾳ, δι'ἧς Χριστόν ἀνακηρύττεις, Θεόν Ἅγιον, λαβόντα σάρκα δι'ἡμᾶς, δι'ἔλεος ἄφατον.

Ἔστης εὐθαρσῶς, πρό βημάτων παρανόμων,στόματι λαμπρῷ, οἷα σάλπιγξ οὐρανία, κηρύττων Νεομάρτυς, τοῦ Σωτῆρος τήν σάρκωσιν, πάντων τῶν γηΐνων ἀλογίσας, καί τοῦ πυρός μηδόλως δείσας, ὁρμήν ἄσχετον· διό τήν ἄθλησιν τήν σήν, Μιχαήλ γεραίρομεν.

Τήν σήν θαυμαστήν, καί λαμπράν ὁμολογίαν, καί τῆς σῆς ψυχῆς, τήν ἀνδρείαν Ἀθλοφόρε, ἐθαύμασαν Ἀγγέλων,οὐρανόθεν τά τάγματα, καί τῶν εὐσεβούντων αἱ χορεῖαι, τούς σούς ἠγάσθησαν ἀγῶνας, δι'ὧν ἔλαμψας, ὥσπερ νεόφωτος ἀστήρ, Μιχαήλ τοῖς πέρασι.

Ἤνεγκας πυρός, τήν κατάφλεξιν ἀνδρείως, καί ὡς προσφορά, καί θυμίαμα εὐῶδες, καί θεῖον ἱερεῖον,καί σεπτόν ὁλοκαύτωμα, Μιχαήλ Κυρίῳ προσηνέχθης, καί διαδήματι τῆς δόξης, λαμπρῶς ἔστεψαι, ὡς ἀριστεύς περιφανής, Χριστοῦ τοῦ Παντάνακτος.

Δόξα. Ἦχος α΄.

Τῇ θεΐκῇ σοφίᾳ λαμπρυνθείς, ἀπτοήτῳ στόματι κηρύττεις, τοῦ Σωτῆρος τήν σάρκωσιν, Μιχαήλ μακάριε· πίστει γάρ τούτῳ στρατευθείς, σθένος θεῖον ἐνεδύσω, καί τοῦ φωτός τοῖς ὅπλοις κατεπάλαισας, τά τοῦ σκότους φρυάγματα· καί στεῤῥῶς ἀγωνισάμενος, ἀθλητικῆς εὐκλείας ἐπέβης, ὡς ἀθλητής περίδοξος, πᾶσιν ἡμῖν αἰτούμενος, εἰρήνην καί θεῖον ἔλεος.

Καί νῦν. Θεοτοκίον.

Τῇ πρεσβείᾳ Κύριε, πάντων τῶν Ἁγίων, καί τῆς Θεοτόκου, τήν σήν εἰρήνην δός ἡμῖν, καί ἐλέησον ἡμᾶς, ὡς μόνος οἰκτίρμων.

Ἀπόστιχα.

Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.

Ῥήτωρ θεοειδής, ὦ Μιχαήλ ἐδείχθης, λαμπρῶς ἀνακηρύττων, ἐπί ἐχθρῶν ἀπίστων, τήν τοῦ Χριστοῦ Θεότητα.

Στίχ. Δίκαιος ὡς φοίνιξ ἀνθήσει...

Ἅπασαν ἀπειλήν, τυράννων, ὑπερεῖδες, ἀτρέπτῳ διανοίᾳ, καί ἤνυσας ἀνδρείως, τό σκάμμα τῆς ἀθλήσεως.

Στίχ. Θαυμαστός ὁ Θεός ἐν τοῖς Ἁγίοις αὐτοῦ.

Φέρων ἐν τῇ ψυχῇ, τό πῦρ τό θεῖον Μάρτυς, ὑπῆλθες στεῤῥοτάτως, ὦ Μιχαήλ θεόφρον, τήν τοῦ πυρός κατάφλεξιν.

Δόξα. Τριαδικόν.

Στόματι ἱερῷ, ὦ Μιχαήλ κηρύττεις, τήν μίαν Θεαρχίαν, Πατέρα Λόγον Πνεῦμα, οὐσίαν τρισυπόστατον.

Καί νῦν. Θεοτοκίον.

Σάρκα ἐκ τῆς Ἁγνῆς, Παρθένου εἰληφότα, ὁμολογεῖς τόν Λόγον, Χριστόν τόν Βασιλέα, ὦ Μιχαήλ δι᾿ἔλεος.

Νῦν ἀπολύεις, τό Τρισάγιον, καί τό Ἀπολυτίκιον.

Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.

Σοφίᾳ τῇ θεόθεν δεδομένῃ κοσμούμενος, ἐκήρυξας εὐτόλμως, τοῦ Σωτῆρος τό ὄνομα, καί τούτῳ ὡς θυσία καθαρά, προσήχθης τῷ πυρί τελειωθείς· διά τοῦτο Νεομάρτυς σε Μιχαήλ, τιμῶμεν ἀνακράζοντες· Δόξα τῷ παρασχόντι σοι ἰσχύν· δόξα τῷ σέ στεφανώσαντι· δόξα τῷ χορηγοῦντι διά σοῦ, ἡμῖν πταισμάτων ἄφεσιν.

Θεοτοκίον. Τοῦ Γαβριήλ φθεγξαμένου...

Ἀπόλυσις.

www.tezaurliturgic.ro

## Ἐν τῷ Μεγάλῳ Ἑσπερινῷ.

Μετά τόν Προοιμιακόν, τό, Μακάριος ἀνήρ. Εἰς δέ τό, Κύριε ἐκέκραξα, ἱστῶμεν Στίχους στ´ καί ψάλλομεν τά Προσόμοια.

Ἦχος α´. Ὢ τοῦ παραδόξου θαύματος!

Ὢ τοῦ παραδόξου θαύματος! ἀπτοήτῳ ψυχῇ, καί σοφίᾳ κρείττονι, κηρύττει περιφανῶς, Χριστόν τόν Κύριον, βημάτων πρό δυσσεβῶν, ὁ Μιχαήλ ὡς πλησθείς θείου Πνεύματος, καί ᾔσχυνε τήν ὀφρύν, φρυαττομένων ἐχθρῶν θείοις σκάμμασιν. Ὅθεν τήν ἁγίαν τούτου, ἄθλησιν τιμήσωμεν, τόν Χριστόν ἀνυμνοῦντες, τόν λαμπρῶς αὐτόν δοξάσαντα.

Βαβαί τῆς σῆς παῤῥησίας σοφέ! σύ γάρ ὑπερεῖδες, σαρκός τήν ἀσθένειαν, καί πᾶσαν τῶν διωκτῶν, Μιχαήλ δύναμιν, καί στόματι ἱερῷ, ἀκαταπλήκτῳ ψυχῇ ὡμολόγησας, τόν πάντων Δημιουργόν, τόν δι᾽ ἡμᾶς ἑκουσίως πτωχεύσαντα· ὑπέρ οὗ στεῤῥῶς ἀθλήσας, τῶν ὑπέρ κατάληψιν, ἠξιώθης ἐπάθλων, ἀθλητής ὡς ἐνθεώτατος.

Τήν σήν ἀνδρείαν ἐθαύμασαν, πάντες οἱ ὁρῶντες, Μάρτυς τούς ἀγῶνάς σου, καί σθένος τό θαυμαστόν, τῆς διανοίας σου· στεῤῥῶς γάρ τόν ἐν πυρί, καθάπερ ἄσαρκος ἤνεγκας θάνατον, καί ἔφλεξας Μιχαήλ, τῇ σῇ ἐνστάσει ἐχθρῶν τήν παράνοιαν· ὅθεν δόξης οὐρανίου, μέτοχος γεγένησαι, καί Μαρτύρων τοῖς δήμοις, ἠριθμήθης ἀγαλλόμενος.

Προσόμοια ἕτερα.

Ἦχος ὁ αὐτός. Πανεύφημοι Μάρτυρες.

Παμμάκαρ θεόφρον Μιχαήλ, Ἀθλητής ἀήττητος, τῆς εὐσεβείας γενόμενος, ὑστέροις ἔτεσι, τήν τῆς δυσσεβείας, ᾔσχυνας παράταξιν, δυνάμει οὐρανίῳ νευρούμενος, καί χαίρων ἤνυσας, τόν ἀγῶνα τῆς ἀθλήσεως· διά τοῦτο, πάντες σε γεραίρομεν.

www.tezaurliturgic.ro



Σοφίαν τήν ἄνωθεν λαβών, βίου καθαρότητι, ἀνδρειοφρόνως ἐκήρυξας, Χριστοῦ τήν σάρκωσιν, καταπλήξας πάντας,Μιχαήλ τοῖς λόγοις σου, καί τῷ ἀθλητικῷ παραστήματι, καί προσενήνεξαι, λογικόν ὡς ὁλοκαύτωμα, τῷ Κυρίῳ, τελέσας τόν δρόμον σου.

Ἀγάλλεται Μάρτυς Μιχαήλ, ἡ πατρίς σου Ἅγιε, ἐγκαυχωμένη τοῖς ἄθλοις σου, καί τήν ἁγίαν σου, μνήμην ἑορτάζει,ἐκ ψυχῆς βοῶσά σοι· Ὡς ἔχων παῤῥησίαν πρός Κύριον, ἀεί ἱκέτευε, Ἀθλοφόρε ἀγγελώνυμε, ὑπέρ πάντων, τῶν ἀνευφημούντων σε.

Δόξα. Ἦχος πλ. β΄.

Τῇ εὐσεβείᾳ διαπρέπων, μαρτυρικόν ὑπῆλθες ἀγῶνα,ἐν ἀνδρείᾳ ψυχῆς, Ἀγγελώνυμε Μάρτυς Μιχαήλ· καί τῇ σῇ ἀθλήσει, τῆς Ἐκκλησίας φαιδρύνεις τό πλήρωμα,καί πάντας διεγείρεις ἐν τῇ σῇ μνήμῃ,ὁμοφώνως βοῆσαι· Χαίροις ὁ τῇ ἄνωθεν σοφίᾳ, φρυαττομένην ἰσχύν φαυλίσας, καί τόν λόγον τῆς πίστεως, τρανῶς ὁμολογήσας· χαίροις ὁ τοῦ πυρός μή πτήξας τήν ὁρμήν, ἀλλ' ἀτρόμως ὑπελθών τήν ἀναφθεῖσάν σοι φλόγα, καί ὡς θῦμα ἄμωμον, προσενεχθείς τῷ Κυρίῳ· χαίροις Μαρτύρων ἐφάμιλλε,Εὐρυτανίας δόξα, καί τῆς σῆς πατρίδος Γρανίτσης καλλώπισμα.Πρέσβευε Χριστῷ τῷ Θεῷ, Νεομάρτυς ἔνδοξε, ἐλεηθῆναι τάς ψυχάς ἡμῶν.

Καί νῦν. Θεοτοκίον. Ὁ αὐτός.

Τίς μή μακαρίσει σε Παναγία Παρθένε; τίς μή ἀνυμνήσει σου, τόν ἀλόχευτον τόκον; ὁ γάρ ἀχρόνως ἐκ Πατρός, ἐκλάμψας Υἱός Μονογενής, ὁ αὐτός ἐκ σοῦ τῆς Ἁγνῆς προῆλθεν, ἀφράστως σαρκωθείς, φύσει Θεός ὑπάρχων, καί φύσει γενόμενος ἄνθρωπος δι' ἡμᾶς, οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ'ἐν δυάδι φύσεων ἀσυγχύτως γνωριζόμενος. Αὐτόν ἱκέτευε σεμνή Παμμακάριστε, ἐλεηθῆναι τάς ψυχάς ἡμῶν.

Εἴσοδος, Φῶς ἱλαρόν, τό Προκείμενον τῆς ἡμέρας, καί τά Ἀναγνώσματα.

Εἰς τήν Λιτήν, Ἰδιόμελα.

Ἦχος α΄.

Ὡς θαυμαστή ἡ σή μαρτυρία, ἀγγελώνυμε Μάρτυς, Μιχαήλ πανθαύμαστε! θείῳ γάρ ἔρωτι τρωθείς, ὑπερεῖδες σαρκός καί αἵματος, καί ὅλος θεόληπτος ὤφθης, ἐν τῷ ἀγῶνι τῆς ἀθλήσεως· καί λόγῳ πλουσίῳ, καί ἀηττήτῳ ἐνστάσει, καταπλήξας τούς ἐχθρούς, ἀκατάπληκτος εἰσέδραμες, τήν ἀναφθεῖσάν σοι φλόγα· δι᾽ ἧς τήν μέν ἀπάτην ἔφλεξας, τῶν δέ πιστῶν τάς ψυχάς ἐθέρμανας, ἀνυμνεῖν σου τούς ἄθλους, καί τῷ Σωτῆρι βοᾶν· Κύριε δόξα σοι.

Ἦχος β΄.

Μαρτυρικήν ἀρετήν μιμησάμενος,τυραννικήν κατηγωνίσω ματαιότητα, ὡς τοῦ Χριστοῦ στρατιώτης, Μιχαήλ ἀξιΰμνητε· τῆς ἀληθείας γάρ τόν πλοῦτον, θησαυρίσας ἐν σοί,τῆς ἀσεβείας τό κίβδηλον, ὁλοσχερῶς ἐθριάμβευσας·θεοσόφῳ γάρ γλώσσῃ, τοῦ Σταυροῦ τό μυστήριον κηρύττεις, ὡς τῷ Χριστῷ συσταυρωθείς· καί εὐτόλμῳ παῤῥησίᾳ,τῆς εὐσεβείας τήν λαμπρότητα, πᾶσιν ὑπέδειξας· καί νομίμως ἀριστεύσας, ἐπαξίων ἠξίωσαι γερῶν,ὑπέρ ἡμῶν δεόμενος, τῶν τιμώντων σου τήν ἄθλησιν.

Ἦχος γ΄.

Ὥσπερ ἄνθραξ νοητός, τῷ τοῦ Πνεύματος πυρί ἠνάλωσας, τῆς ἀπάτης τήν ὕλην,Μιχαήλ Μάρτυς ἀήττητε· οὐδόλως γάρ ἐκάμφθης, ἐναθλῶν ἀνδρικῶς, τῶν ἐναντίων ταῖς ἀπειλαῖς, οὐδέ πυρός τοῦ παμφάγου, τήν ὁρμήν ἐδειλίασας· ἡ γάρ θεία χάρις σε,ὅλον μετάρσιον ἀνέδειξε, καί ἐν πᾶσι στεῤῥότατον· ἔνθεν ὡς ἱερεῖον ἔμψυχον, καί θῦμα εὐπρόσδεκτον, τῇ Παναγίᾳ Τριάδι προσενήνεξαι, καί Μαρτύρων τοῖς δήμοις, ἀξίως συνέταξαι· μεθ᾽ ὧν πρέσβευε δεόμεθα, Νεομάρτυς ἀξιάγαστε, ῥύεσθαι ἡμᾶς, ἐπινοιῶν τοῦ ἀλάστορος.

www.tezaurliturgic.ro

Ἦχος δ΄.

Τήν θείαν ἰσχύν ἐνδυσάμενος, ὑπερεῖδες σαρκός φθειρομένης, ἐν τῷ πικρῶς τιμωρεῖσθαί σε, Ἀθλητά Μιχαήλ· ὅλῳ νοΐ γάρ ἀτενίζων, τῷ ποθουμένῳ σοι Χριστῷ, πάντα ὡς σκύβαλα ἡγήσω, καί πάντων ὑπέρτερος γέγονας, ἐν τῇ μεθέξει τοῦ κρείττονος. Ἀλλ' ὡς καλῶς ἀνδραγαθήσας, δίδου ἡμῖν ἰσχύν κατά παθῶν ὀλεθρίων, ταῖς πρός Χριστόν πρεσβείαις σου, Νεομαρτύρων ἐγκαλλώπισμα.

Δόξα. Ἦχος ὁ αὐτός.

Τόν τῇ κλήσει ἀγγελώνυμον, καί ἐν Μάρτυσι νέον ἀριστέα, Μιχαήλ τόν θεόσοφον, μαρτυρικοῖς ἀναδήσωμεν ἄνθεσιν ᾀσμάτων· πεπαῤῥησιασμένῃ γάρ ὁμολογίᾳ, Χριστόν ἐδόξασε, καί ἀνενδότῳ ψυχῇ, τόν διά πυρός ὑπέμεινε θάνατον, ὥσπερ ἄλλου πάσχοντος· καί λόγοις καί ἄθλοις, τῶν πάλαι Μαρτύρων, ἀνακεφαλαιώσας τήν ἄθλησιν, τῶν ἴσων βραβείων, ἐκείνοις ἠξίωται, τούς πιστούς στηρίξας τῆς εὐσεβείας τῇ πέτρᾳ· καί νῦν ἀπαύστως πρεσβεύει, διδόναι θεῖον ἡμῖν ἔλεος, καί πταισμάτων ἄφεσιν.

Καί νῦν. Θεοτοκίον.

Ἐκ παντοίων κινδύνων...

Εἰς τόν Στίχον Στιχηρά Προσόμοια.

Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου.

Ὅτε ἐπί βήματος ἑστώς, ἤνοιξας τό στόμα σου Μάρτυς, ἐν παῤῥησίᾳ πολλῇ, τότε ὡμολόγησας, Χριστοῦ τήν δύναμιν, καί τό μέγα μυστήριον, τῆς οἰκονομίας, τούτου ἀνεκήρυξας, ὡς ῥήτωρ ἔνθεος· ὅθεν καί νομίμως ἀθλήσας, στέφος ἀφθαρσίας ἐδέξω, Μιχαήλ χειρός ἐκ τοῦ Παντάνακτος.

www.tezaurliturgic.ro

Στίχ. Δίκαιος ὡς φοῖνιξ ἀνθήσει...

Ὄντως ἐπληρώθη ἐπί σοί, ἡ ἐπαγγελία θεόφρον, τρανῶς τοῦ Κτίσαντος· στόμα καί σοφία γάρ, θεία σοι δέδοται, ᾗ οὐδόλως δεδύνηνται, ἀντειπεῖν τῆς πλάνης, πάντες οἱ συνήγοροι, ὡς ματαιόφρονες· ὅθεν ὡς λαμπρόν ἀριστέα, τοῦ Χριστοῦ καί μέγαν ὁπλίτην, Μιχαήλ συμφώνως εὐφημοῦμέν σε.

Στίχ. Θαυμαστός ὁ Θεός ἐν τοῖς Ἁγίοις αὐτοῦ.

Χαίροις Νεομάρτυς Μιχαήλ, γόνος εὐκλεής τῆς Γρανίτσης, καί θεῖον καύχημα, τῆς Θεσσαλονίκης δέ γέρας πολύτιμον· ἐν αὐτῇ γάρ τόν κάλλιστον, ἀνύσας ἀγῶνα, θεῖον ὁλοκαύτωμα, Χριστῷ προσήνεξαι. Ὅθεν ἀμφοτέραις ἐξαίτει, χάριν καί εἰρήνην θεόθεν, εὐπαῤῥησιάστοις μεσιτείαις σου.

Δόξα. Ἦχος πλ. δ΄.

Τῷ τοῦ Πνεύματος πυρί, τήν φθοράν ἀναλώσας, τῆς ἀφθαρσίας ἠμφιάσω τήν στολήν, τῇ ἐνύλῳ φλογί τακείς τάς σάρκας, Μιχαήλ πανθαύμαστε· μαρτυρικοῖς γάρ σκάμμασι, τῆς θείας ἀγάπης, τήν δύναμιν ὑπέφηνας· καί τόν Χριστόν μεγαλύνας, τῆς μεγαλοπρεποῦς δόξης κοινωνός, ἐγένου μακάριε· ἧς καί ἡμεῖς ἀξιωθείημεν, ταῖς πρός Θεόν λιταῖς σου, οἱ τελοῦντες τήν μνήμην σου

Καί νῦν. Θεοτοκίον. Δέσποινα πρόσδεξαι...

Νῦν ἀπολύεις, τό Τρισάγιον, καί τό Ἀπολυτίκιον.

Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.

Σοφίᾳ τῇ θεόθεν δεδομένῃ κοσμούμενος, ἐκήρυξας εὐτόλμως, τοῦ Σωτῆρος τό ὄνομα, καί τούτῳ ὡς θυσία καθαρά, προσήχθης τῷ πυρί τελειωθείς· διά τοῦτο Νεομάρτυς σε Μιχαήλ, τιμῶμεν ἀνακράζοντες· Δόξα τῷ παρασχόντι σοι ἰσχύν· δόξα τῷ σέ στεφανώσαντι· δόξα τῷ χορηγοῦντι διά σοῦ, ἡμῖν πταισμάτων ἄφεσιν.

Θεοτοκίον. Τοῦ Γαβριήλ φθεγξαμένου...

Ἀπόλυσις.

www.tezaurliturgic.ro

## Ἐν τῷ Ὄρθρῳ.

Μετά τήν α΄ Στιχολογίαν, Κάθισμα.

Ἦχος α΄. Τόν Τάφον σου Σωτήρ.

Ἐφλέχθης ἐν πυρί, ὁ φωτός κληρονόμος, καί ἔλαμψας ἡμῖν, ὡς ἀστήρ ἑωσφόρος, λαμπρύνων τά νοήματα, τῶν πιστῶν τῇ ἀθλήσει σου· ὅθεν σήμερον, τήν σήν γεραίροντες μνήμην, εὐφημοῦμέν σε, ὡς τοῦ Χριστοῦ στρατιώτην, Μιχαήλ μακάριε.

Θεοτοκίον.

Ἐκύησας ἡμῖν, τόν Θεόν τῶν ἁπάντων, λαβόντα ἐκ τῶν σῶν, παναγίων αἱμάτων, ἀνθρώπων τό φύραμα, ἀσυγχύτως δι' ἔλεος· ὅθεν Ἄχραντε, ὡς σωτηρίας σε πύλην, μεγαλύνομεν, καί τῇ θερμῇ σου πρεσβείᾳ, ἀεί καταφεύγομεν.

Μετά τήν β΄ Στιχολογίαν, Κάθισμα.

Ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ.

Κατεπλάγη ἀληθῶς, τῶν δυσσεβούντων ἡ πληθύς, καί εὐφράνθη εὐπρεπῶς, τῶν Ὀρθοδόξων ὁ χορός, ἐν τῇ λαμπρᾷ ὁμολογίᾳ σου Ἅγιε· σύ γάρ τόν Χριστόν, Θεόν καί ἄνθρωπον, στόματι σοφῷ, καθωμολόγησας, καί τοῦ πυρός ἐνεγκών τήν κατάφλεξιν, μαρτυρικῆς δόξης ἔτυχες, Χριστῷ πρεσβεύων, ἡμῖν δοθῆναι, ὦ Μιχαήλ θεῖον ἔλεος.

Θεοτοκίον.

Ἐκ γαστρός σου τῆς Ἁγνῆς, ὁ Ὑπερούσιος Θεός, οὐσιωθείς τό καθ' ἡμᾶς, δι' ἀγαθότητα πολλήν, τήν τῶν ἀνθρώπων ἀνεμόρφωσεν οὐσίαν· ὅθεν ὡς Θεοῦ, Μητέρα πάναγνον, μέλπομεν ἀεί, καί ἀνυμνοῦμέν σε. Ἀλλ' ὦ Παρθένε ἡμῶν ἡ βοήθεια, μή διαλίπῃς δεόμεθα, ἡμῖν αἰτεῖσθαι, πταισμάτων λύσιν, καί πειρασμῶν ἀπολύτρωσιν.

www.tezaurliturgic.ro



Μετά τόν Πολυέλεον, Κάθισμα.

Ἦχος πλ. δ΄. Τήν Σοφίαν καί Λόγον.

Τῇ σοφίᾳ τῇ θείᾳ καθοπλισθείς,ἐν πολλῇ παῤῥησίᾳ ὁμολογεῖς, τό μέγα μυστήριον, τῆς τοῦ Λόγου σαρκώσεως, καί τῆς ἀπάτης λύεις, ἀχλύν τήν καχέσπερον, τῷ φωτισμῷ τῆς θείας, λαμπόμενος πίστεως·ὅθεν καί ὡς θῦμα, λογικόν προσηνέχθης, Χριστῷ τῷ Παντάνακτι, τῷ πυρί τελειούμενος, Μιχαήλ ἀξιάγαστε. Πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τήν ἁγίαν μνήμην σου.

Θεοτοκίον.

Ὡς καθέδρα καί ὄχημα θαυμαστόν, καί πυρίμορφος θρόνος καί ὑψηλός, κρατεῖς ἐν ἀγκάλαις σου, τόν τά πάντα κατέχοντα, καί συντηροῦντα Κόρη, ἀεί καί συνέχοντα, χειρί παντοδυνάμῳ, καί πλούτῳ χρηστότητος· Ὅνπερ Θεοτόκε, ὡς Υἱόν σου καί Πλάστην, ἀπαύστως ἱκέτευε, ὑπέρ πάντων δεόμεθα, τῶν πιστῶς ἐκβοώντων σοι· Χαῖρε τῶν Ἀγγέλων χαρά, καί ἀνθρώπων μέγα καταφύγιον· χαῖρε σκέπη τοῦ κόσμου, καί πάντων ἀντίληψις.

Τό α΄ Ἀντίφωνον τοῦ δ΄ ἤχου καί τό Προκείμενον.

Δίκαιος ὡς φοίνιξ ἀνθήσει, καί ὡσεί κέδρος
ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.

Στίχ. Θαυμαστός ὁ Θεός ἐν τοῖς Ἁγίοις αὐτοῦ.

Εὐαγγέλιον τό τοῦ Ἁγίου Γεωργίου.

Ὁ Ν΄ Ψαλμός. Δόξα. Ταῖς τοῦ Ἀθλοφόρου...

Καί νῦν. Ταῖς τῆς Θεοτόκου...

Στίχ. Ἐλέησόν με ὁ Θεός, κατά τό μέγα ἔλεός σου, καί κατά τό πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τό ἀνόμημά μου.

www.tezaurliturgic.ro



'Ιδιόμελον. Ἦχος πλ. β΄.

Τῷ ἀδύτῳ φωτί, τῆς τριλαμποῦς Θεαρχίας καταυγαζόμενος, ὡς τοῦ σκότους τόν ἀρχηγόν ὀλέσας, Μιχαήλ Νεομάρτυς, σκοτασμοῦ ἁμαρτιῶν, λύτρωσαι ἡμᾶς, καί πάσης ἀνάγκης καί θλίψεως,τούς τήν φωτοφόρον σου, μνήμην ἑορτάζοντας.

Ὁ Ἱερεύς. Σῶσον ὁ Θεός τόν λαόν σου...

Οἱ Κανόνες τῆς Θεοτόκου καί τοῦ Ἁγίου, οὗ ἡ ἀκροστιχίς.

" Ἄδω Μιχαήλ μέλος σοῖς ἄθλοις. Γερασίμου " .

Ὠδή α΄. Ἦχος δ΄. Ἀνοίξω τό στόμα μου.

Ἀκτῖσι τοῦ Πνεύματος, καταλαμπόμενος Ἅγιε, τόν νοῦν μου καταύγασον, φωτί τῆς χάριτος, ἵνα μέλψω σου, ὦ Μιχαήλ τρισμάκαρ, τήν ἔνδοξον ἄθλησιν, δι' ἧς δεδόξασαι.

Δυνάμει τῇ κρείττονι, καί τῇ σοφίᾳ τῇ ἄνωθεν,Χριστόν ὡμολόγησας, ἐπί ἀπίστων στεῤῥῶς, καί κατῄσχυνας, πολλῇ ἐν παῤῥησίᾳ, τῆς πλάνης τό φρύαγμα, Μιχαήλ ἔνδοξε.

Ὡς ἄστρον νεόφωτον,ἐκ τῆς Γρανίτσης ἀνέτειλας,καί φέγγει τῶν ἄθλων σου, τήν Ἐκκλησίαν Χριστοῦ, κατεφαίδρυνας, καιρῷ τῷ τῆς δουλείας· διό μεγαλύνει σε, Μιχαήλ χαίρουσα.

Θεοτοκίον.

Μηδόλως τήν μήτραν σου, φλέξας πυρί τῆς Θεότητος, ἐκ σοῦ ...ελήλυθε, Χριστός ὁ Κύριος· ὡς ἡ βάτος γάρ, ἀφλέκτως Θεοτόκε, τήν φύσιν τήν ἄστεκτον, γαστρί ἐχώρησας.

Ὠδή γ΄. Τούς σούς ὑμνολόγους.

Ἰθύνας νοός σου τάς κινήσεις,πρός μόνον Χριστόν ἀπό παιδός, ὑπέρ αὐτοῦ ἠξίωσαι, ἀνῦσαι θείῳ ἔρωτι,τό σκάμμα τῆς ἀθλήσεως, ὦ Μιχαήλ ἀξιάγαστε.

www.tezaurliturgic.ro

Χριστός ἐστι Κτίστης τῶν ἁπάντων, καί μόνος Θεός καί Ποιη-
τής,σύν τῷ Πατρί καί Πνεύματι, ὦ Μιχαήλ ἐκραύγαζες, τοῖς ἐλ-
κουσί σε Ἅγιε, πρός ἀσεβείας τά βάραθρα.

Ἀνοίξας τό ἅγιόν σου στόμα, ὡς ῥήτωρ σοφίας θεϊκῆς, περι-
φανῶς ἐκήρυξας, Χριστόν τόν Παντοκράτορα, ὦ Μιχαήλ καί ᾔσχυ-
νας, τῶν δυσσεβούντων τό φρόνημα.

Θεοτοκίον.

Ἡλίου νεφέλη τοῦ ἀδύτου, ἀκτῖνα φωτός μοι νοητοῦ, ἐπίλαμ-
ψον Πανάμωμε, καί φώτισον τά ὄμματα,τά τῆς ψυχῆς μου δέομαι
ἀμαυρωθέντα τοῖς πάθεσι.

Κάθισμα. Ἦχος δ΄. Ταχύ προκατάλαβε.

Τό πῦρ τό οὐράνιον, ἐν τῇ ψυχῇ ἐσχηκώς,πυρός κατεφρόνησας
τοῦ ὑλικοῦ καί φθαρτοῦ, γενναίῳ φρονήματι·ὅθεν σου τούς ἀγῶ-
νας, Μιχαήλ εὐφημοῦμεν· πάντων γάρ τάς καρδίας, Ἀθλητά καί
ευφραίνεις, τῇ σῇ λαμπρᾷ ἀθλήσει, δι᾽ ἧς Χριστόν ἐδόξασας.

Θεοτοκίον.

Τόν Κτίστην καί Κύριον, καί Βασιλέα Χριστόν, προήγαγες σώ-
ματι,δίχα τροπῆς καί φυρμοῦ, τόν ἄνθρωπον σώζοντα· ὅθεν Θεο-
γεννῆτορ, σωτηρίας πρός τρίβον, ἴθυνον τούς ἐν πίστει,ἀληθε-
ἐκβοῶντας· Χαῖρε Κεχαριτωμένη, ὁ Κύριος μετά σοῦ.

Ὠδή δ΄. Τήν ἀνεξιχνίαστον θείαν βουλήν.

Λύσας τῆς ἀπάτης λόγοις σοφοῖς, Μιχαήλ θεόφρον τόν σύνδε-
σμον, τάς διανοίας, τῇ ἀγάπῃ τοῦ Χριστοῦ,τῶν εὐσεβῶν συνέδη-
σας, πλεῖον τοῖς στεῤῥοῖς σου παλαίσμασι.

Μέγας ἐν ἀθλήσει ἀναφανείς, Μάρτυς ἐν ὑστέροις τοῖς ἔτεσι
μεγίστης δόξης, ἠξιώθης Μιχαήλ, τῆς ὑπέρ νοῦν λαμπρότητος
μέτοχος ἀξίως γενόμενος.

www.tezaurliturgic.ro

῎Εφερες ὡς ἄσαρκος ἐν τῇ σαρκί,στρέβλας καί αἰκίας καί μάστιγας, Χριστόν δοξάζων, Μιχαήλ τόν θαυμαστήν, ἰσχύν σοι παρεχόμενον, ἐν τῷ θλίβεσθαί σε μακάριε.

Θεοτοκίον.

Λύτρωσαι κινδύνων παντοδαπῶν, καί πολυειδῶν περιστάσεων, Θεογεννῆτορ, τούς ἐν ὅλῃ τῇ ψυχῇ, τήν παρά σοῦ βοήθειαν, Κόρη αἰτουμένους ἑκάστοτε.

᾿Ωδή ε΄. ᾿Εξέστη τά σύμπαντα.

Οὐδόλως ἐπτόησαι, τυραννικήν ὠμότητα, ἀλλ᾿ἀκαταπλήκτῳ παῤῥησίᾳ, ἐπί βημάτων δικαστικῶν ᾿Αθλητά, γλώσσῃ λιγυρᾷ ὁμολογεῖς, τοῦ Χριστοῦ τήν σάρκωσιν, Μιχαήλ τήν ἀπόῤῥητον.

Σαρκός οὐκ ἐφρόντισας, οἷα θνησκούσης ῞Αγιε, ἀλλ᾿ ἀνδρειοτάτῃ διανοίᾳ, τήν ἀναφθεῖσαν πυράν εἰσέδραμες, καί τροπαιοφόρος πρός Χριστόν, Μιχαήλ ἀνέδραμες, τόν ἀγῶνα τελέσας σου.

Σοφίαν σοι δέδωκε, Χριστός ὥσπερ ὑπέσχετο, δοῦναι τοῖς αὐτόν θερμῶς ποθοῦσιν, ᾗ ἀντιστῆναι ἤ ἀντειπεῖν οὐδαμῶς, ἴσχυσαν εἰς τέλος Μιχαήλ, πλάνης οἱ συνήγοροι, ὡς ἐν σκότει καθήμενοι.

Θεοτοκίον.

῾Ολόφωτον σκήνωμα,Θεοῦ τοῦ Παντοκράτορος,Κεχαριτωμένη Θεοτόκε, τῆς μετανοίας φωτί καταύγασον,τήν ἀμαυρωθεῖσάν μου ψυχήν, λόγοις τε καί πράξεσι, τοῦ δεινοῦ πολεμήτορος.

᾿Ωδή στ΄. Τήν θείαν ταύτην.

᾿Ισχύϊ θείᾳ ῥωννύμενος, τόν μέγιστον ἀγῶνα διήνυσας, τόν τῆς ἀθλήσεως, ὦ Μιχαήλ ἀγαλλόμενος, καί νικηφόρος ἤρθης,πρός τά οὐράνια.

Σῶμα ὁρῶντες τό θεῖόν σου, φλεγόμενον πιστῶν τά συστήματα, Χριστόν ἐδόξαζον, τόν παρασχόντα τοιαύτην σοι, ὦ Μιχαήλ ἀνδρείαν, καί γενναιότητα.

www.tezaurliturgic.ro



'Αγαλλιᾶται τοῖς ἄθλοις σου, Γρανίτσα ἡ πατρίς σου ὑμνοῦ- σε, Θεσσαλονίκη δέ, ὦ Μιχαήλ ἐν σοί γάνυται, ἰδοῦσα τούς με- γίστους, Μάρτυς ἀγῶνάς σου.

Θεοτοκίον.

Θεόν ἀφράστως κυήσασα, καί ἄφθορος 'Αγνή διαμείνασα, μετ- τήν κύησιν, φθοροποιῶν νοημάτων με, καί λογισμῶν ἀτόπων, ῥῦ- σαι καί σῶσόν με.

Κοντάκιον.

Ἦχος γ΄. 'Η Παρθένος σήμερον.

'Αθλητής Θεόσοφος, καί στρατιώτης γενναῖος, Μιχαήλ μακάρι- Χριστοῦ ἀθλήσας ἐδείχθης· πᾶσαν γάρ, καταπατήσας ἐχθροῦ μα- νίαν, ἤνεγκας, τόν ἐν πυρί θάνατον χαίρων, καί ὡς θεῖον ἱε- ρεῖον, Χριστῷ προσήχθης, τῷ σέ δοξάσαντι.

'Ο Οἶκος.

Ταῖς ὁδοῖς τοῦ Χριστοῦ πορευόμενος, μαρτυρίου ὑπῆλθες τ- στάδιον, ἀπαρνησάμενος σαυτόν, καί ἅπαντα καταλιπών, τά γεη- ρά οἷα φθαρτά, τῷ ἔρωτι Κυρίου· σύ γάρ φρονήσει ἱερᾷ κοσμού- μενος, Κυρίῳ ἐστρατεύθης, καί τῶν πάλαι Μαρτύρων ζηλωτής καὶ ὁμότροπος ὤφθης, ἀνενδότῳ καρδίᾳ, καί τελειοτάτῃ ψυχῇ· καί ἐν σοφίᾳ λόγων, τό μυστήριον τῆς εὐσεβείας κηρύξας, καί τόν Χρι- στόν ἐναντίον ἐχθρῶν δυσμενῶν δοξάσας, πρός αὐτόν νικηφόρος ἀνέδραμες, Μιχαήλ ἀξιοθαύμαστε· τοῦ γάρ πυρός τήν κατάφλεξιν, ὡς ἄλλου πάσχοντος, ὑπέμεινας, καί ὡς θεῖον ἱερεῖον, Χριστῷ προσήχθης, τῷ σέ δοξάσαντι.

Συναξάριον.

Τῇ Ι΄ τοῦ αὐτοῦ μηνός, Μνήμη τοῦ 'Αγίου ἐνδόξου Νεομάρτυρος Μιχαήλ τοῦ Μαυρουδῆ, τοῦ ἐκ Γρανίτσης τῆς Εὐρυτανίας καταγο- μένου, καί ἐν Θεσσαλονίκῃ μαρτυρήσαντος, καί διά πυρός τελει- ωθέντος ἐν ἔτει ͵αφμδ΄. (I544).

www.tezaurliturgic.ro

Στίχοι.

Ού Μάρτυς ἁπλοῦς, ἀλλά καί θείων λόγων,
'Ρήτωρ ἐδείχθης, ὦ Μιχαήλ παμμάκαρ.
Μιχαήλ δεκάτη πυρί λάβρῳ φλεγένουσι δυσσεβεῖς.

Οὗτος ἦν τόν δέκατον καί ἕκτον αἰῶνα, καταγόμενος ἔκ τινος χωρίου τῆς Εὐρυτανίας, Γρανίτσα καλουμένου, ἐν τῇ τῶν 'Αγράφων περιοχῇ. Μετοικήσας ἐν Θεσσαλονίκῃ, τό τοῦ ἀρτοποιοῦ ἐπάγγελμα μετήρχετο,ζῶν ἐν πάσῃ εὐσεβείᾳ,καί ἀμέμπτως πορευόμενος ἐν τοῖς δικαιώμασι Κυρίου. Φθονηθείς ὑπό τῶν 'Αγαρηνῶν, ἐβιάσθη πρός ἐξόμοσιν τοῦ σωτηρίου τοῦ Κυρίου ὀνόματος· ἀλλά ἀτρέπτῳ παῤῥησίᾳ,καί θαυμαστῇ, ὡς ἀληθῶς,ὁμολογίᾳ, ἐν τῇ δοθείσῃ αὐτῷ ἄνωθεν σοφίᾳ, ἀνεκήρυξε τό μέγα τῆς εὐσεβείας μυστήριον, καί τήν προαιώνιον τοῦ Σωτῆρος Θεότητα, καί τήν ἐπ' ἐσχάτων ὑπέρ ἡμῶν ἀπόῤῥητον αὐτοῦ κένωσιν,καταπλήξας καί καταισχύνας τῶν ἀντικειμένων τάς τάξεις. Ποικιλοτρόπως δέ αἰκισθείς,καί φρουρᾷ καθειρχθείς, ὑπέστη ἀγαλλόμενος τόν διά πυρός θάνατον, καί οὕτως ἐτελειώθη ἡ μαρτυρία αὐτοῦ ἐν ἔτει ,αφμδ΄. (I544).

Ταῖς αὐτοῦ πρεσβείαις,Χριστέ ὁ Θεός,ἐλέησον ἡμᾶς.'Αμήν.

'Ωδή ζ΄. Οὐκ ἐλάτρευσαν.

Λαμπρυνόμενος, φωτί τῆς θείας πίστεως, οὐδόλως ἔπτηξας,τῆς φθειρομένης φλογός, τήν θέαν τήν βρέμουσαν, Μιχαήλ ἔνδοξε, ἀλλ'ἐκραύγαζες, ἐν τῷ πυρί φλεγόμενος· 'Ο Θεός εὐλογητός εἶ.

Ὅλος ἔνθεος, ὡράθης καί θεόληπτος, ἑστώς πρό βήματος, τυραννικοῦ Μιχαήλ, καί γλώσσῃ ἐκραύγαζες, ἐν θεοῤῥήμονι· Μόνος Κύριος, Χριστός ἐστιν ὦ ἄνομοι, καί Θεός πάντων τῶν ὄντων.

'Ιλαρώτατος, καί πλήρης δόξης κρείττονος, ὑπῆλθες Ἅγιε,τήν ἀναφθεῖσαν πυράν, ἐν ᾗ συμφλεγόμενος, τήν πλάνην ἔφλεξας,καί ἀνέδραμες, πρός δόξαν τήν οὐράνιον, Μιχαήλ τροπαιοφόρος.

www.tezaurliturgic.ro

Θεοτοκίον.

Σεσωμάτωται, ἐκ τῶν ἁγνῶν αἱμάτων σου, ὁ Ὑπερούσιος, κ σάρξ ὡράθη Ἁγνή, καί κόσμον διέσωσε, τῆς πάλαι πτώσεως· δ πάντες σε, ὑμνοῦμεν Ἀειπάρθενε, ὡς ἀρχήν τῆς σωτηρίας.

Ὠδή η΄. Παῖδας εὐαγεῖς.

Γνώσει θεϊκῇ λελαμπρυσμένος, καί ἤθεσιν ἐναρέτοις σεμνυν μενος, Μάρτυς ἀπαράγραπτος, ὤφθης τοῦ Παντάνακτος, ἐν τοῖς σχάτοις ἔτεσιν, ἀθλήσας ἔνδοξε· διό μαρτυρικῆς εὐκληρίας, μ τοχος ἐδείχθης, σύν Μάρτυσιν ἁγίοις.

Ἔχει σε Γρανίτσα ἡ πατρίς σου, προστάτην καί ἀρωγόν κ ἀντιλήπτορα, ἥν ἀπαύστως φύλαττε, πάσης περιστάσεως, χαρμον κῶς τήν μνήμην σου, πανηγυρίζουσαν, θεόφρον Μιχαήλ Νεομάρτυ καί δοξολογοῦσαν, Χριστόν τόν Ἀθλοθέτην.

Ῥήσεων τῶν σῶν μή ἐνεγκόντες, τήν δύναμιν Μιχαήλ οἱ μαται φρονες, μάστιξιν ᾐκίζοντο, καί εἱρκταῖς τό σῶμά σου, καί λ βρῳ τοῦτο ἔφλεξαν, πυρί μακάριε, οἱ μέτοχοι πυρός αἰωνίου, δέ λαμπροφόρος, πρός δόξαν ἤρθης θείαν.

Θεοτοκίον.

Ἄνωθέν μοι δύναμιν παράσχου, Παρθένε ὡς συμπαθείας μέ πέλαγος, τοῦ πατεῖν τήν δύναμιν, πᾶσαν τοῦ ἀλάστορος, καί ἰσχύϊ Ἄχραντε, θείᾳ ὁδεύειν καλῶς, τῶν ἐντολῶν τῶν θείων τ τρίβον, τήν καθοδηγοῦσαν, ζωήν πρός αἰωνίαν.

Ὠδή θ΄. Ἅπας γηγενής.

Στόματι λαμπρῷ, Χριστόν ὡμολόγησας Θεόν καί ἄνθρωπον, πάν μέν τό πρότερον, ἐκ τοῦ μή ὄντος καθυποστήσαντα, εἶτα σάρ γενόμενον δι' ἀγαθότητα, Νεομάρτυς, Μιχαήλ πανεύφημε, ὑπέρ καί ἀνδρείως ἐνήθλησας.

www.tezaurliturgic.ro



Ἵνα τοῦ φωτός, τῆς ἄνω λαμπρότητος τύχης μακάριε, τόν ἐν πυρί θάνατον, ἀνδρειοτάτως Μάρτυς ὑπέμεινας, καί χαίρων πρός ἀθάνατον ζωήν ἀνέδραμες, ἐν μεθέξει, Μιχαήλ θεούμενος,καί ἡμῖν τόν Χριστόν ἱλεούμενος.

Μόνον τόν Χριστόν, ἐκ βρέφους ἐπόθησας νοΐ θεόφρονι· ὅθεν καί τοῖς ἴχνεσι, τούτου ἐνθέως ἐπηκολούθησας, καί μαρτυρίου σκάμμασιν αὐτόν ἐδόξασας· διά τοῦτο, αἰωνίου δόξης σε, Μιχαήλ κληρονόμον εἰργάσατο.

Ὁ νεοφανής, ὁπλίτης καί ἔνδοξος τοῦ Παντοκράτορος, Μιχαήλ μακάριε,ἐκ τῶν παγίδων τοῦ κοσμοκράτορος, τόν νοῦν μου ἐλευθέρωσον καί δέξαι δέομαι, τόν παρόντα, ὕμνον μου καί δίδου μοι, ταῖς λιταῖς σου πταισμάτων τήν ἄφεσιν.

Θεοτοκίον.

Ὕψωσον ἡμῶν, τόν νοῦν Παναμώμητε πρός πόθον κρείττονα, ἐκ τῆς ματαιότητος, τῶν χαμαιζήλων καί τῆς κακώσεως, παθῶν τοῦ πολεμήτορος ἡ ἀνυψώσασα, τῷ ὑψίστῳ, Τόκῳ σου τήν ἔκπτωτον, τοῦ Ἀδάμ πάλαι φύσιν δι' ἔλεος.

Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.

Σοφίαν τήν τοῦ Πνεύματος, ἐν τῇ ἀνοίξει εἵλκυσας, τοῦ στόματός σου κηρύττων, τήν Παναγίαν Τριάδα, δι'ἧς ἀφώνους ἔδειξας, καί ἐνεούς τούς ἄφρονας, καί καρτερῶς ἠγώνισαι,ὑπέρ τῆς δόξης Κυρίου, ὦ Μιχαήλ Νεομάρτυς.

Θεοτοκίον.

Σαρκός ἐν ὁμοιώματι,τόν πάντων Βασιλεύοντα,ἀποτεκοῦσα Παρθένε, τήν τῶν ἀνθρώπων οὐσίαν, τῆς πάλαι κατακρίσεως,ἀπήλλαξας καί ὕψωσας, πρός τήν ἀρχαίαν εὔκλειαν, τῇ σῇ ἀφράστῳ κυήσει· διό σε δοξολογοῦμεν.

www.tezaurliturgic.ro



Εἰς τούς Αἴνους.

Ἱστῶμεν Στίχους δ΄ καί ψάλλομεν τά ἑξῆς Προσόμοια.

Ἦχος α΄. Τῶν οὐρανίων Ταγμάτων.

Τόν ἀγγελώνυμον πάντες, Κυρίου Μάρτυρα, τόν ἐν σοφίᾳ θείᾳ ἐν πολλῇ παῤῥησίᾳ, κηρύξαντα τό ὄνομα τοῦ Χριστοῦ, Μιχαήλ εὐφημήσωμεν· ἀθλητικῶς γάρ καθεῖλε τῶν δυσμενῶν, τήν ἰσχύν ψυχῆς στεῤῥότητι.

Τῆς σῆς ἀθλήσεως Μάρτυς, τούς πόνους μέλπομεν, δι᾿ ὧν ὡς ἑωσφόρος, νοητός ἀνατείλας, πᾶσαν καταυγάζεις τήν τοῦ Χριστοῦ Ἐκκλησίαν ἐν Πνεύματι· σύ γάρ ἀθλήσας εὐφραίνεις ὦ Μιχαήλ εὐσεβούντων τά πληρώματα.

Ὡς ὁλοκάρπωμα θεῖον, καί προσφορά λογική, διά πυρός τελέσας, Μιχαήλ τούς ἀγῶνας, Κυρίῳ προσηνέχθης καί τῆς αὐτοῦ, ἠξιώθης λαμπρότητος· ἀλλά πρεσβείαις σου ῥύου ἡμᾶς παθῶν, ἀμαυρώσεως δεόμεθα.

Τόν μιμητήν τῶν Μαρτύρων, καί ἰσοστάσιον, τῆς τούτων εὐκληρίας, καί στεφάνων τῆς δόξης, τό βλάστημα Γρανίτσης καί πρός Θεόν, πρεσβευτήν ἑτοιμότατον, ἀνευφημήσωμεν ἅπαντες Μιχαήλ Ἐκκλησίας τό ἑδραίωμα.

Δόξα. Ἦχος πλ. α΄.

Τῇ μαρτυρικῇ σου ἐνστάσει, τῆς ἀσεβείας τεταπείνωται ἡ ἰσχύς, καί εὐσεβῶν τό κέρας ὑψώθη, Μιχαήλ ἀξιοθαύμαστε· σύ γά[ρ] προθύμῳ καρδίᾳ, πρός ἀθλητικούς ἐχώρησας ἀγῶνας, Χριστόν ἐν[δε]δυμένος, καί νίκην ἦρας περιφανῆ, κατά τῶν ἀντικειμένων ὑπερφρονήσας πάντων τῶν γεηρῶν· καί δι᾿ ἐνύλου πυρός, τῷ ἀΰλ[ῳ] διαβάς φωτί, τοῦ ξύλου τῆς ζωῆς ἀπολαύεις, ἑνώσει θείᾳ θεούμενος. Ἀλλ᾿ ὦ Μαρτύρων ἀξιάγαστε, μή παύσῃ πρεσβεύων, ὑπέ[ρ] τῶν τιμώντων σε.

Καί νῦν. Θεοτοκίον. Μακαρίζομέν σε...

Δοξολογία μεγάλη καί Ἀπόλυσις.

----------

www.tezaurliturgic.ro



Εἰς τήν Λειτουργίαν.

Τά συνήθη. Ἀπόστολον καί Εὐαγγέλιον τοῦ Ἁγίου Δημητρίου, ἅπερ ζήτει τῇ 26η Ὀκτωβρίου.

Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον...

Μεγαλυνάριον.

Χαίροις ὁ Γρανίτσης θεῖος βλαστός, ὁ Χριστόν δοξάσας, δι' ἀθλήσεως θαυμαστῆς· χαίροις ὁ Κυρίῳ, προσενεχθείς ὡς θῦμα, ὦ Μιχαήλ ἐνέγκας, πυρός τήν ἔκκαυσιν.

Δίστιχον.

Δίδου Μιχαήλ Γερασίμῳ σήν χάριν,
Μέλψαντι τάς σάς θαυμαστάς ἀριστείας.

